# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: afu-ab

*Ἀρχίλοχος ὁ Πάριος* · Archilochus of Paros

## Warrior's Life and Wine

*Ἀποσπάσματα*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Ἰωνική* Ionic (ia, frg)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1 εἰμὶ δ’ ἐγὼ θεράπων μὲν Ἐνυαλίοιο ἄνακτος καὶ Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος,

book 2 ἐν δορὶ μέν μοι μᾶζα μεμαγμένη, ἐν δορὶ δ’ οἶνος [para]Ἰσμαρικός· πίνω δ’ ἐν δορὶ κεκλιμένος.

book 3.1 οὔτοι πόλλ’ ἐπὶ τόξα

book 3.2 τανύσσεται, οὐδὲ θαμειαὶ [para]σφενδόναι, εὖτ’ ἂν δὴ μῶλον Ἄρης

book 3.3 συνάγηι ἐν

book 3.4 πεδίωι· ξιφέων δὲ πολύστονον ἔσσεται ἔργον· [para]ταύτης γὰρ κεῖνοι δάμονές εἰσι μάχης[ln_5]δεσπόται Εὐβοίης δουρικλυτοί.

book 4.1 ·(.)].(.)[ φρα[ ξεινοι.[ δεῖπνον δ’ ου[[ln_5]οὔτ’ ἐμοὶ ωσαῖ[ ἀλλ’ ἄγε σὺν κώθωνι θοῆς διὰ σέλματα νηὸς [para]φοίτα καὶ κοίλων πώματ’ ἄφελκε κάδων, ἄγρει δ’ οἶνον ἐρυθρὸν ἀπὸ τρυγός· οὐδὲ γὰρ ἡμεῖς [para]νηφέμεν ἐν

book 4.2 φυλακῆι τῆιδε δυνησόμεθα.

book 5.1 ἀσπίδι μὲν

book 5.2 Σαΐων

book 5.3 τις ἀγάλλεται, ἣν

book 5.4 παρὰ θάμνωι, [para]ἔντος ἀμώμητον, κάλλιπον οὐκ ἐθέλων· αὐτὸν δ’ ἐξεσάωσα. τί μοι μέλει ἀσπὶς ἐκείνη; ἐρρέτω· ἐξαῦτις κτήσομαι οὐ κακίω.

book 6 ξείνια δυσμενέσιν λυγρὰ χαριζόμενοι,

book 8.1 πολλὰ δ’ ἐυπλοκάμου

book 8.2 πολιῆς ἁλὸς ἐν

book 8.3 πελάγεσσι [para]θεσσάμενοι γλυκερὸν νόστον ––

book 9 []ν..ετοπ[ []ελιπεν [ []ώλεσενα.[ []μένους [[ln_5][]νοεσσα[ []εα. []ν φίλον[ []μενος [ []νασικε[[ln_10]εἰ κείνου κεφαλὴν καὶ χαρίεντα μέλεα ⌊ Ἥφαιστος καθαροῖσιν ἐν εἵμασιν ἀμφεπονήθη [].ασας [ []ς· αλλάτ[ []η [[ln_15][]δαπο.[ []ολ..ν [ []ταρ[ [].(.)[

book 10 [ ]εμ.. [ ]θια δέ σφεας [ ]ς ἐξ]απίνης γὰρ[ln_5][ ]ανος [ ]α γυναικῶν [ ] [ ].αρηος [ ].[

book 11.1 οὔτέ τι γὰρ κλαίων ἰήσομαι, οὔτε κάκιον [para]θήσω

book 11.2 τερπωλὰς καὶ θαλίας ἐφέπων.

book 12 κρύπτομεν ἀνιηρὰ Ποσειδάωνος ἄνακτος [para]δῶρα.

book 13.1 κήδεα μὲν

book 13.2 στονόεντα

book 13.3 Περίκλεες οὔτέ τις ἀστῶν [para]μεμφόμενος θαλίηις τέρψεται οὐδὲ πόλις· τοίους γὰρ κατὰ κῦμα

book 13.4 πολυφλοίσβοιο θαλάσσης [para]ἔκλυσεν, οἰδαλέους δ’ ἀμφ’ ὀδύνηις ἔχομεν[ln_5]πνεύμονας. ἀλλὰ θεοὶ γὰρ ἀνηκέστοισι κακοῖσιν [para]ὦ φίλ’ ἐπὶ κρατερὴν

book 13.5 τλημοσύνην ἔθεσαν φάρμακον. ἄλλοτε ἄλλος ἔχει τόδε· νῦν μὲν ἐς ἡμέ͜ας [para]ἐτράπεθ’, αἱματόεν δ’ ἕλκος ἀναστένομεν, ἐξαῦτις δ’ ἑτέρους ἐπαμείψεται. ἀλλὰ τάχιστα[ln_10]τλῆτε, γυναικεῖον πένθος ἀπωσάμενοι.

book 14 Αἰσιμίδη, δήμου μὲν ἐπίρρησιν μελεδαίνων οὐδεὶς ἂν μάλα πόλλ’ ἱμερόεντα πάθοι.

book 15 Γλαῦκ’, ἐπίκουρος ἀνὴρ τόσσον φίλος ἔσκε μάχηται,

book 16.1 πάντα Τύχη καὶ Μοῖρα

book 16.2 Περίκλεες ἀνδρὶ δίδωσιν.

book 17.1 πάντα πόνος

book 17.2 τεύχει θνητοῖς μελέτη

book 17.3 τε βροτείη.

book 18 παῖδ’ Ἄρε͜ω͜ μιηφόνου.

book 19 “οὔ μοι τὰ Γύγε͜ω͜ τοῦ πολυχρύσου μέλει, οὐδ’ εἷλέ πώ με ζῆλος, οὐδ’ ἀγαίομαι θε͜ῶ͜ν ἔργα, μεγάλης δ’ οὐκ ἐρέ͜ω͜ τυραννίδος· ἀπόπροθεν γάρ ἐστιν ὀφθαλμῶν ἐμῶν.”

book 20 κλαίω τὰ Θασίων, οὐ τὰ Μαγνήτων κακά.

book 21 ἥδε δ’ ὥστ’ ὄνου ῥάχις ἕστηκεν ὕλης ἀγρίης ἐπιστεφής,

book 22.1 οὐ γάρ

book 22.2 τι καλὸς χῶρος οὐδ’ ἐφίμερος οὐδ’ ἐρατός, οἷος ἀμφὶ Σίριος ῥοάς.

book 23.1 [ ]..[ [ ]....[ ].[ [ ]...[ ].[ ]ισ[ ]ν[ [ ].....[ ]..[ ].........γει[[ln_5][ ].....[ ]..[]..... γὰρ ἐργματ[ [ ]..... [ ].........ιχα..ω [ .].[]ρ.βα.........δε..⟦ω⟧ρ ἠμειβόμ[ην· “γύνα[ι], φάτιν μὲν τὴν πρὸς ἀνθρώπω[ν κακὴν μὴ τετραμήνεις μηδέν· ἀμφὶ δ’ εὐφ[ρόνηι,[ln_10]ἐμοὶ μελήσει· [θ]υμὸν ἵλ[α]ον τίθε͜ο.͜[ ἐς

book 23.2 τοῦτο δή τοι τῆς ἀνολβίης δοκ[έ͜ω͜ ἥκειν; ἀνήρ

book 23.3 τοι δειλὸς ἆρ’ ἐφαινόμην[, οὐ]δ’ οἷός εἰμ’ ἐγ͜ὼ [ο]ὗ͜τος οὐδ’ οἵων ἄπο. [ ἐπ]ίσταμαί τοι τὸν

book 23.4 φιλ[έ͜ο]͜ν[τα] μὲν φ[ι]λεῖν[,[ln_15]τὸ]ν δ’ ἐχθρὸν ἐχθαίρειν τε [κα]ὶ κακο[ μύ]ρμηξ. λόγωι νυν τ[ῶιδ’ ἀλη]θείη πάρ[α. πό]λιν δὲ ταύτη[ν ...]α[.... ἐ]πιστρέ[φε͜α]ι͜[ οὔ]τοι

book 23.5 ποτ’ ἄνδρες ἐξε[πόρθη]σαν, σὺ δ[ὲ ν]ῦν εἷλες αἰχμῆι κα[ὶ μέγ’ ἐ]ξήρ(ω) κ[λ]έος.

book 23 [ln_20]κείνης ἄνασσε καὶ τ[υραν]νίην ἔχε· π[ο]λ[λοῖ]σ[ί θ]η[ν ζ]ηλωτὸς ἀ[νθρ]ώπων ἔσε͜αι.͜”

book 24.1 [ ]νηῒ σὺν σ[μ]ικρῆι μέγαν πόντον

book 24.2 περήσ]ας ἦλθες ἐκ Γορτυνίης [ ]..οτητ.γ.πεστάθη⟦ν⟧ [ ]καὶ τόδ’ ἁρπαλ[ί]ζομ[αι][ln_5][ κρ]ηγύης ἀφίκ[ [ ]λμοισιν εξ[.......].ς [ ]χειρα καὶ π[..]εστ[ά]θης [ ]ουσας· φ[ο]ρτίων δέ μοι μέ[λ]ει [ ].ος εἴτ’ ἀπώλετο[ln_10][]ν ἔστι μηχανή [ δ’ ἂν ἄλ]λον οὔτιν’ εὑροίμην ἐγώ [ εἰ σ]ὲ κῦμ’ ἁλὸς κατέκλυσεν ἢ ].ν

book 24.3 χερσὶν αἰχμητέ͜ω͜ν ὕπο [ ἥ]βην ἀγλ[α]ὴν ἀπ[ώ]λεσ[α]ς.[ln_15]νῦν δ’ ]θεῖ καί σε θε͜[ὸ͜ς ἐρ]ρύσατο [ ].[.]. κἀμὲ μουνωθέντ’ ἰδ.. [ ]ν, ἐν ζόφωι δὲ κείμενο〈σ〉[ [ αὖτις ]ἐ[ς] φά[ος κ]ατεστάθην.

book 25.1 [ ]τις ἀνθρώπου

book 25.2 φυή, ἀλλ’ ἄλλος ἄλλωι καρδίην ἰαίνεται. [ ].τ[.].μελησα[...]. σάθη [ ]ε βουκόλωι

book 25.3 Φαλ[...]ιωι.[ln_5]τοῦτ’ οὔτις ἄλλ]ος μάντις ἀλλ’ ἐγ̣ε̣ ἶπ̣έ σοι· [ ]γάρ μοι Ζεὺς

book 25.4 πατὴρ Ὀλυμπίων [ ἔ]θηκε κἀγαθὸν μετ’ ἀνδράσι [ οὐ]δ’ ἂν Εὐρύμας διαψέγο[ι

book 26 πολ.[ νο.σ[.].[ φθ.....[.].[ χερς.....[[ln_5]ὦναξ Ἄπολλον, καὶ σὺ τοὺς μὲν αἰτίους πήμαινε καί σφας ὄλλυ’ ὥσπερ ὀλλύεις, ἡμέα̣ς̣ δὲ .[ .]υτ....[ .]αι.υζαν[[ln_10]..... δ’ ἰδ[ αμυ[..]..[ λ.[.]ε.[..].[ κ[α]ὶ [..]μβαλ[ ..]ν.δεκ[.].[[ln_15].].....[

book 27 [ ]ην[ [ ].[ ] [ [ ]εται [ ]δέ με[ln_5][ ]ύξεαι· [ ].φέρειν []ωτέρω· [ ]ιῶν δ’ ὕπο [ ].να[.]ον[ln_10][ ]ίζεα[ι] [ ]νημένος [ ]ἐξερύκομα[ι] [ ]..νδεσε..[΄.].[ [ ]νει χάρ[ι]ς[ln_15][ ]ων[.]δου [ ]..[

book 28 [ ]δος [ ]ες με σύ [ ]α.κεο [ ]λεες·[ln_5][ ] [ ]ελος [ ]μελει· [ ]νέπει [ ]ος[ln_10][ ]μενος· [ ].άδη [ ] [ ].[].υε· [ ]μεων ἴδηι[ln_15][ ]του ῥέπε[ []δικηρίλην[ [ ]ισεκγύ.ω[ [ ]..[.]ό...[ [ ]..[

book 29 [ ].α[.].φ[..]ο[ [ ]η⟦δ⟧αρθμιάδε̣ω̣[ ]σευδανοσκακ.ν [ ]αρτης γάρ εἰς·[ln_5][ ἀνθ]ρώπων ἔτι [ ]λαντίδη []ειδ’ ὅπηι δύνε̣[αι̣[ ]θαυμαστός εἰς

book 30.1 ἔχουσα θαλλὸν μυρσίνης ἐτέρπετο ῥοδῆς

book 30.2 τε καλὸν ἄνθος.

book 31 ἡ δέ οἱ κόμη ὤμους κατεσκίαζε καὶ μετάφρενα.

book 32 διὲξ τὸ μύρτον,

book 34.1 ἀμισθὶ γάρ

book 34.2 σε πάμπαν οὐ διάξομεν.

book 35 βοῦς ἐστιν ἧμιν ἐργάτης ἐν οἰκίηι, κορωνός, ἔργων ἴδρις, οὐδαρ( )

book 36.1 πρὸς

book 36.2 τοῖχον ἐκλίνθησαν ἐν

book 36.3 παλινσκίωι

book 37 τοῖον γὰρ αὐλὴν ἕρκος ἀμφιδέδρομεν.

book 38 οἵην Λυκάμβε̣ω̣ π̣αῖδα τὴν ὑπερτέρην,

book 40 παρδακὸν δ’ ἐπείσιον.

book 41 κηρύλος πέτρης ἐπὶ προβλῆτος ἀπτερύσσετο.

book 42.1 ὥσπερ αὐλῶι βρῦτον ἢ Θρέϊξ ἀνὴρ ἢ Φρὺξ ἔμυζε· κύβδα δ’ ἦν

book 42.2 πονε̣ο̣μ̣ένη.

book 43.1 ἡ δέ οἱ σάθη –– ὥστ’ ὄνου

book 43.2 Πριηνέως κήλωνος ἐπλήμυρεν ὀτρυγηφάγου.

book 44.1 πολλὸς δ’ ἀφρὸς ἦν

book 44.2 περὶ στόμα.

book 45 κύψαντες ὕβριν ἀθρόην ἀπέφλυσαν.

book 46.1 διὲξ

book 46.2 σωλῆνος εἰς ἄγγος,

book 47 .]ε παρθένοι θυρέ̣ω̣ν̣ ἀπεστύπαζον.

book 48 ]...[]...[ δαιτα.μενη[ μαπ.(.)εκαρ.[ εξησ[.].α[[ln_5]τροφὸ.ς κατ.[ ἐσμυριχμένας κόμην καὶ στῆθος, ὡς ἂν καὶ γέρων ἠράσσατο. ὦ Γλαῦκ.[ αι[.]ὃς.[ ισα[[ln_10]π..[ ὁμοφ[ρονλα....[ λα..μ[ τῖνε.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[[ln_15]ἔρχ[ε.]θ[ τη.[ προ.[ ].[ ἐβουλόμην[ ἀπαγγελου[[ln_20]ψιῆισιν[ φοιτᾶν· επ[ πᾶσαι .ε. [ ἔρδειν· ατ[ φαιν[.].ιν[[ln_25]ἀκάτια· καὶ β[ (καὶ πολλὸς ελ[ πολλῶν ἄϊ[ ὑ..ον πυθ[ κ[.].παπ[[ln_30].].εσθεδ[ πρόσε[ ἐγὼ μ[

book 49.1 .(.)αλ[ πινε[ ὅτι

book 49.2 φρον[ γυνὴ τ[[ln_5]ἔχθιστε[ καὶ πατ[ φιλῆτα νύκτωρ

book 49.3 περὶ πόλιν

book 49.4 πωλεομένωι· οὔτ’ ὦ[ επ[

book 50 [ ]..αν και[ [ ]. καλὸν δη[ [ ].φρασ⟦σ⟧αν[ []...και[[ln_5][].[ ]σκλα.[

book 51.1 .(.)]δῆμα[ .(.)]ξεις· αν[ τ]ῶι νῦν ε.[ πνοαὶ φερ[[ln_5].]νοισι

book 51.2 τερ[ τ]οιῶνδ’ ἐρετ[ ...(.)]δ’ ἂν

book 51.3 σε[ [ ]νελα[

book 52 [ ]ειν ζ[ []κου[.]ὲ[

book 53 [].[ []νυκτ[ []σεχθο.[ [ ]νυντ[

book 54.1 [ ]μεν ἡλι[ [ ]ιδε μὲν δυ[ [ ]δ’ ἐγὼ γεραιτ[ερ [ ].ν.[.].ς ἐδεξάμην[[ln_5][ ]αὐχέν’· ἤδε δ’ αζ[ [ ]ν δὲ δὴ π[ει]ρήσεται·[ [ ]ἄλλοτ’ ὦ καχ[.....]ε Λυκά]μβα· μηδεμ[.]γουν[ [ ]ειε· λωβητ[.]ν πυθ[[ln_10][ ]κακ[]. φαι[ [ ]ν λύρην π[ [ ]οσεστι

book 54.2 φιλ[ [ ]θα· τηνδ[ [ ]υσεβουλο[[ln_15][ ]δε

book 54.3 παρθέ[ν [ ]χε και μ[ [ ].μοσω.[ [ ]χεξ[

book 55 []σπο[ [ ]θαπ[ [ ]μεμ[ [ ]τι[

book 56 [ ]αστ[ [ ]τοσ[ [ ]δα[ [ ]ατα[[ln_5][]λα[.]ιφ[ []μαχλ[ [ ].πατ[ [ ]μοιπ[ [ ]ειλ[

book 57 []ταφρος αμ[ []κται πᾶσα· φι[ [ ]ἀγρίουσκι[ [ ]ασα μαιν[[ln_5][ ]κεωσαγ.[ [ ]υνονη[ [Δω]τάδεω‿ πατρ[ []πάντα δ’ ἠείδ[ει [ ]ραφεῖσα· τὰ[

book 58 []μενη· []ψιος [].[ ] []αμαι[ln_5][ ]γίνετα[ι ...]θυμίης [ ]διατελε[..]προσω[.....]ε [ ]τε δηϊων[....]ρθ[ [ ο]ὐκ ἀποτρ[ [ τ]έχνην πᾶσα[ν[ln_10][ ]ὀφρύκ[νησ]το[ν .....]ν ἐμεωυτο[ ἄιδων ὑπ’ αὐλητῆρος

book 59 [].ς· ουτ[ [ ]ὲλη[

book 60.1 ..]λημαλι[ ...]ρων λυκ[ ..]ασηι π[ ...]νεοι[[ln_5]..].αιδα[ ὦ τρι]σμακά[ριος ὅστις

book 60.2 τοι]αῦτα τέκ[να .....ἐ]φευρο[ [ ]ν.[[ln_10][ ]υριλ[ [ ]ναικ[ [ ].[..]ἵ

book 61 [ ].[ [ ]τί μεμ[ [].ιμελο[ [ ]⟦ε⟧ι[

book 62 []αυτ.[ [ ].αο.[ [ ]εμ[ [ ]χρο[[ln_5][ ]κ[

book 63 [ ]σα[·].[ []ωκελη[ [ ]υφοσ[ [ ]κάν[[ln_5][ ].ρο[

book 64 ]ισα[ ]χα[ ]λκα[ ]αιμ[

book 65 ]ιητρ[

book 66 μηρῶν μεταξύ,

book 67.1 [].τομηι []λήσομαι· ἐσθλὴν γὰρ ἄλλην οἶδα

book 67.2 τοιούτου

book 67.3 φυτοῦ ἴησιν ]δοκέω·[ln_5][]κακά· [ἐ]πίφρασαι· []ήσομαι· []ου λίνου []ταθη[ln_10] []νμενοινιω[ [].εισιω[ []α..σε.[

book 68.1 [ ].[ ....]αψει[ ...]θαισετη[ ....].ισοιτ[[ln_5]οὐ]δ’ ἄν

book 68.2 ποτ[ ο]ὕτω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 68.3 περισ[ ἐ]γὼ δεχωρι[ ..].[.]οισιν [

book 69 [ ].[ []ινα[ []μηχο[ []σελα[

book 70* [ ]νον[ [ ]με[ [].αιφρο[ []νουσεσ[[ln_5][]αιμων[ []λαπηχ[ [ ]ιηρα[ [(–)ο]λβιοσ[ [ ]ε.[

book 71.1 []Λυκαμ[β []ντιδ[ []ωρ

book 71.2 συ[ν [ ]πυ[

book 72* [].[.]στ.[ []άδαιτρ.[ [ ]ιεν·[

book 73 [].....[ [].ορ..πη[ [ ]νυν δεπ[ [ ].ουλομαι.[[ln_5][ ].υνομη..[ [ ].νογδ.[.].δ[ [ ]...ως.υνοι.[ [ ]νηγησομ.[ [ ].[.]λλερημιη[[ln_10][ ]...⟦ον⟧ []αμειψομ[ [ ]αμφιδαδ[ [ ].ιμεν..[ [ ]τεχη[ [ ]η[

book 74* []μαλθ[ [ ].ραδ[

book 75* ]λαυ[ ]φωμ[

book 76* []αιγλη[ [ ]κα[

book 77 μ[ φοιτ[ ἅτ[ εξε[

book 78 εβ[ εβυ[ ἰθα[γεν

book 79 ἤϊα τ[ ἰθαγ[εν ἦτ[

book 80 []ε[ς] ἀντίον [ [ ]υμιη[ [ ]ευ[

book 81* [ ]..[ [ ].κ[.]ηδ[ []ε τήνδε δ’α[

book 82.1 [ ]π[..]χετα[ι [ ]εθων [ ]ακ[..]ρίης [ ]νώξυνες σάθης[ln_5][ ]ην ἐγὼ δίκην [ ]οσεστάθης [].οισιν ἤρκεσας· [ ]μελες ἀρκέσειν [ ]. ἐλάγχανες[ln_10][ ].ματι· [ ]θενειάδη[ ] [ εκ]αλλυνας πόλιν[ [ ]α γὰρ

book 82.2 φρονεῖσ[ [ ].ϊζο[[ln_15][ ]ο.[

book 83* []δη[ [ ]πε[

book 84* [ ]σι.[ []διο.[ [].[

book 85* []..[ = = = = []ιναιησε[ []ησδιουσμ[[ln_5][].[.]ξυνωρ[ [ ].[ [ ]μ[

book 86* [].τ[.]...[ [ ]ωναθ[ [ ]τιν·ουδ[

book 87* [ ]υνσ[ [ ]λλ[.].[ []ξαν ς..[

book 88.1 Ἐρξίη, πῆι δηὖτ’ ἄνολβος ἁθροΐζεται

book 88.2 στρατός;

book 89.1 τῆς νῦν πάντεσ[ ἀμφικαπνίουσιν[ νηυσίν, ὀξεῖαι δ[ δηΐων, αὐαίνετ[αι δέ ἡλίωι, θράσος

book 89.2 τε[[ln_5]οἳ μέγ’ ἱμείροντεσ[ Ναξίων δῦναι φ.[ καὶ φυτῶν

book 89.3 τομὴν[ ἄνδρες ἴσχουσιν[ τοῦτό κεν λεὼι μ[[ln_10]ώς ἀμηνιτεὶ παρη[ καὶ κασιγνήτων .[ τέων ἀπέθρισαν[ ἤριπεν

book 89.4 πληγῆισιδ[ ταῦτά μοι θυμὸσ[[ln_15]νειόθεν .οβ..δε[ ἀλλ’ ὅμως θανον[ γνῶθί νυν, εἴ τοι[ ῥήμαθ’ ὃς μέλλε[ι οἱ μὲν ἐν Θάσωι .[[ln_20]καὶ Τορωναίην[ οἱ δ’ ἐν ὠκείηισ[ι ( ) νηυσι και...ἐκ Πάρου τ[ καὶ κασιγνη[τ θυμὸς αλ.[[ln_25]πῦρ ὃ δὴ νῦν ἀμφι.[ ἐν

book 89.5 προαστίωι κε[ γῆν ἀεικίζουσιν[ Ἐρξίη, καταδραμ[ τῶ ’ς ὁδὸν

book 89.6 στελλ[[ln_30]μηδὲ δεξιοὺς επ[

book 91.1 []ον

book 91.2 παθεῖν [ν]ήπιοι

book 91.3 φρένα []τ’ ἀκήρατος []σημάντορες[ln_5][αἰ]χμητὴς ἐών []ευμενος· []δρης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 91.4 τελεῖν [ο]μνύων, ὅτε []ν ἀκούσεαι[ln_10][α]ντίον· []πολει· []έχειν []σμενος [μηδ’ ὁ Ταντάλου λίθος[ln_15]τῆσδ’ ὑπὲρ νήσου κρεμάσθω ]·.ς ἔχων []μεθα []β[ ]υρι [] []υ[...][ln_20][]ας [] [] [] παντ[.....]ηνες γενέσθαι[[ln_25]φαίνο[μαι ..]τωνδ’ εν.μ.[ εἰ γὰρ ω[........]..ν μ.[.]...[ χωρὶ.ς α[.....]νπε..α..ζ[ συνια[....]ω.ιων[..]...α.[ ειτοδ[.]υ[.].(.)ον.(.)νεθειμ...[[ln_30]ἐς μέσον, τάλαντα δὲ Ζεὺ[ς] εχ[ μήτε τῶν καινῶν μετωπασμ[ γῆ φόνωι χλκ.ονδενηεδ[ (.)ατεοφεζεαμ⟦ω⟧...τε.. [.]δ[ εγδαγα.μ.ει...τ.νω...[[ln_35]μεθ’ ἑδανῶν.......ν[ πασατ........τωνα[.]..[ τ...........λας..... [ ...................[ ...τω..[...]τ...τουργ..[[ln_40]...τ...[.]........[.]..[ .]..[....].[...]...αδε Ζευς.[ ας ἐρικ[τ]υπ[.]........[ ηδεοδ...[....].ατ..[ ..]τα Θάσια[.].......[..].[[ln_45]ε[.].δ[.]...ει[....].εα.[ σῶζεν η μεθ[..]..τ[

book 93a.1 ]ατ..φυλ[ –– το.[ –– ]σαι..ι...θο..υ παρα[ – – ]τροφα[ –– ]εκεμ[..]ο.[....]μεν

book 93a.2 ωντολα.[ ]ειπεασ[...]ιων πάϊς

book 93a.3 Πεισιστράτου[ln_5]ἄνδρας ..(.)ωλεῦντας αὐλὸν καὶ λύρην ἀνήγαγεν ἐς Θάσον κυσὶ Θρέϊξιν δῶρ’ ἔχων ἀκήρατον

book 93a.4 χρυσόν, οἰκείωι δὲ κέρδει ξύν’ ἐποίησαν κακά—

book 94.1 τῶν δ’ Ἀθηναίη μάχηι ἵλαος

book 94.2 παρασταθεῖσα

book 94.3 παῖς ἐρικτύπου Διὸς καρδίην ὤρινεν αὐτῆς τῆς

book 94.4 πολυκλαύτου λεώ .[..]υτων[..]αλλα κείνης ἡμέρης ἐπὶ χθ[όν]α[ln_5]ἄλλον ἤεισεν· τόσους γὰρ ἐξεχώρησεν γύας νηλε[....]παντος· ἀλλὰ θε͜ῶν Ὀλυμπίων νόωι νη[

book 95 –––– [ ]δ’ ἐπὶ στρατ..[ νῦν ἐεργμέν.[ πημεσωσερ.[ ]μενος[ln_5]ἀλκίμω.[]ται.

book 96.1 Γλαῦκε, τίς

book 96.2 σε θε͜ῶν νό]ον καὶ φρένας

book 96.3 τρέψ[ας γῆς ἐπιμνήσαιο τ[ῆσδε δει]νὰ τολμήσας με.[[ln_5][ ]αν εἶλες αἰχμῆι καὶ .[

book 98.1 –– ]τιησι δειν[ [ μ]εταξὺ .[ []σὺν δεμ[ []. ἀμφισ[[ln_5][]ων δούρατ’ ἐκπ[ []ε τῶν δεδαμν[ [Ἀ]θηναίη Διός ἀμφ[]εσαν

book 98.2 προ[...]τρικ[ [].το πύργος ἀμφα[ ––[ln_10][].. ἐκ λίθων εδε[ [ ]ε[.] αὐτοὶ Λεσβίω[ –– ⁝ –]ν δ’ ἀ[μ]φ[ιθ]έντες

book 98.3 χερσὶν ο[ –– ]ων ἐσο[.(.)]σει Ζεὺς Ὀλυμπίω[ν

book 98.4 πατήρ [ ]η[.]σιν θοῇισι

book 98.5 πημ[ο]νὴν ἐπήγομ[εν[ln_15][ ]οτ’ ἀμφὶ πύργον ἔστασαν

book 98.6 πονε͜[όμ͜ενοι κλίμακας, μ]έγαν δ’ ἔθεντο θυμὸν ἀμφε[ [ ].με[..(.)]ηρ.ν εἰμένη καλ[ [ α]μειπτή· πολλὰ δ’ ἐρρυ[ [ ]φαρέτραι δ’ οὐκέτ.κρυ[[ln_20][ ]σανιῶν· οιδεπε[ [ ]ντες ἶνας καὶ ταν[ []υ..[

book 99 [ ]ω.[[ln_20][ ]ον β[ [].κιδε[ []αιβε[

book 100 [ ].ηι.[ []ηνουδ’ επ.[

book 101.1 ἑπτὰ γὰρ νεκρῶν

book 101.2 πεσόντων, οὓς ἐμάρψαμεν

book 101.3 ποσίν, χείλιοι

book 101.4 φονῆές εἶμεν,

book 102.1 Πανελλήνων ὀϊζὺς ἐς Θάσον

book 102.2 συνέδραμεν.

book 103

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[ ]νερ.[ []ες Θάσ[ [ ]λοῦτ[

book 104.1 ]ρις..[ ]ς Θάσον κ[ ]ν ἄνα

book 104.2 στ[

book 105.1 Γλαῦχ’, ὅρα· βαθὺς γὰρ ἤδη κύμασιν

book 105.2 ταράσσεται πόντος, ἀμφὶ δ’ ἄκρα Γυρέων ὀρθὸν ἵσταται νέφος, σῆμα

book 105.3 χειμῶνος, κιχάνει δ’ ἐξ ἀελπτίης φόβος.

book 106 [ ]νται νῆες ἐν πόντωι θοαί [ π]ολλὸν δ’ ἱστίων ὑφώμεθα λύσαν]τες ὅπλα νηός· οὐρίην δ’ ἔχε [ ]ρους, ὄφρα ςεο μεμνεώμεθα[ln_5][ ]ἄπισχε, μηδὲ τοῦτον ἐμβάλῃς [ ]ν ἵσταται κυκώμενον [ ]χης· ἀλλὰ σὺ προμήθεσαι []υμος

book 107.1 ἔλπομαι, πολλοὺς μὲν αὐτῶν

book 107.2 Σείριος καθαυανεῖ ὀξὺς ἐλλάμπων·

book 108.1 κλῦθ’ ἄναξ Ἥφαιστε, καί μοι σύμμαχος γουνουμένωι ἵλαος γενέο, χαρίζεο δ’ οἷά περ

book 108.2 χαρίζεαι,

book 109.1 〈ὦ〉 λιπερνῆτες

book 109.2 πολῖται, τἀμὰ δὴ συνίετε ῥήματα.

book 110 ἔρξω· ἐτήτυμον γὰρ ξυνὸς ἀνθρώποις Ἄρης.

book 111.1 καὶ νέους θάρσυνε· νίκης δ’ ἐν θεοῖσι

book 111.2 πείρατα.

book 112.1 [ ].[ ].[ ].[.].ασδι.[.]... [ ]ηρας· ἔλπομαι γάρ, ἔλπομαι [ ἀ]νόλβο[ι].ς ἀμφαϋτήσει

book 112.2 στρατός [ ].αγγες κοιτον ἀρκαδοσσονον[ln_5][ ].α, πολλὰ δ’ ἔλπονται νέοι [ ].α· διὰ πόλιν Κουροτρόφος [ ]τατα[]εθ.....αεισεται [ ]....ν...αν ἀγκάςεαι []τοιγει.[ | ]...τονοχλο·βητεται[ln_10] [ ]ν· τέωι

book 112.3 προσέρχεται [.]εθε [ ]ως Ἀφροδίτηι 〈δὴ〉 φίλος [ ]χων ἅτ’ ὄλβιος [ ]ερον[

book 113.1 [ ]..[.].[ [ ]..[ –(–) ]ρον δεδης.[ ου[ (––) ].[.]ἀνδρος

book 113.2 πε[[ln_5]χη[.].[ ]..δ[ ]επ[ κα[.]..[......]..[.]τ.φ[..]διτ[ ἀρχὸς εὖ μαθ[ὼ]ν ἄκοντι τ[ πειρέαι; λίην λιάζεις κυρ[ ἴσθί νυν, τάδ’ ἴσθι...γγο[

book 114.1 οὐ φιλέω μέγαν

book 114.2 στρατηγὸν οὐδὲ διαπεπλιγμένον οὐδὲ βοστρύχοισι γαῦρον οὐδ’ ὑπεξυρημένον, ἀλλά μοι

book 114.3 σμικρός

book 114.4 τις εἴη καὶ περὶ κνήμας ἰδεῖν ῥοικός, ἀσφαλέως βεβηκὼς

book 114.5 ποσσί, καρδίης

book 114.6 πλέως.

book 115 νῦν δὲ Λεώφιλος μὲν ἄρχει, Λεωφίλου δ’ ἐπικρατεῖν, Λεωφίλωι δὲ πάντα κεῖται, Λεώφιλον δ’ ἄκουε.

book 116 ἔα Πάρον καὶ σῦκα κεῖνα καὶ θαλάσσιον βίον.

book 117 τὸν κεροπλάστην ἄειδε Γλαῦκον.

book 118.1 εἰ γὰρ ὣς ἐμοὶ γένοιτο

book 118.2 χεῖρα Νεοβούλης θιγεῖν.

book 119.1 καὶ πεσεῖν δρήστην ἐπ’ ἀσκόν, κἀπὶ γαστρὶ γαστέρα

book 119.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προσβαλεῖν μηρούς

book 119.3 τε μηροῖς,

book 120.1 ὡς Διωνύσου ἄνακτος καλὸν ἐξάρξαι μέλος οἶδα διθύραμβον οἴνωι

book 120.2 συγκεραυνωθεὶς

book 120.3 φρένας.

book 121.1 αὐτὸς ἐξάρχων

book 121.2 πρὸς αὐλὸν Λέσβιον

book 121.3 παιήονα.

book 122.1 “χρημάτων ἄελπτον οὐδέν ἐστιν οὐδ’ ἀπώμοτον οὐδὲ θαυμάσιον, ἐπειδὴ Ζεὺς

book 122.2 πατὴρ ’Ολυμπίων ἐκ μεσαμβρίης ἔθηκε νύκτ’, ἀποκρύψας φάος ἡλίου λάμποντος, λυγρὸν δ’ ἦλθ’ ἐπ’ ἀνθρώπους δέος.[ln_5]ἐκ δὲ τοῦ καὶ πιστὰ πάντα κἀπίελπτα γίνεται ἀνδράσιν· μηδεὶς ἔθ’ ὑμέων εἰσορέων θαυμαζέτω μηδ’ ἐὰν δελφῖσι θῆρες ἀνταμείψωνται νομὸν ἐνάλιον, καί σφιν θαλάσσης ἠχέεντα κύματα φίλτερ’ ἠπείρου γένηται, τοῖσι δ’ ὑλέειν ὄρος.

book 122 [ln_10][Ἀρ]χηνακτίδης []ήτου πάϊσ[ []τύθη γάμωι[ []..αινε..[ []νεῖν·[ln_15][] [ἀν]δράσιν· [].[].[]

book 123 ]ιηνε[

book 124a Μυκονίων δίκην.

book 124b.1 πολλὸν δὲ πίνων καὶ χαλίκρητον μέθυ, οὔτε τῖμον εἰσενείκας 〈----〉 οὐδὲ μὲν κληθεὶς 〈-〉 ἦλθες οἷα δὴ φίλος, ἀλλά ςεο γαστὴρ νόον

book 124b.2 τε καὶ φρένας

book 124b.3 παρήγαγεν[ln_5]εἰς ἀναιδείην,

book 125.1 μάχης δὲ τῆς σῆς, ὥστε διψέων

book 125.2 πιεῖν, ὣς ἐρέω.

book 126 ἓν δ’ ἐπίσταμαι μέγα, τὸν κακῶς 〈μ’〉 ἔρδοντα δεινοῖς ἀνταμείβεσθαι κακοῖς.

book 127 ἤμβλακον. καί πού τιν’ ἄλλον ἥδ’ ἄτη ’κιχήσατο.

book 128.1 θυμέ, θύμ’, ἀμηχάνοισι κήδεσιν κυκώμενε, ἀναδευ δυσμενῶν δ’ ἀλέξεο προσβαλὼν ἐναντίον

book 128.2 στέρνον ἐνδοκοισιν ἐχθρῶν

book 128.3 πλησίον κατασταθεὶς ἀσφαλέως· καὶ μήτε νικέων ἀμφάδην ἀγάλλεο,[ln_5]μηδὲ νικηθεὶς ἐν οἴκωι καταπεσὼν ὀδύρεο, ἀλλὰ χαρτοῖσίν

book 128.4 τε χαῖρε καὶ κακοῖσιν ἀσχάλα μὴ λίην, γίνωσκε δ’ οἷος ῥυσμὸς ἀνθρώπους ἔχει.

book 129 σὺ γὰρ δὴ παρὰ φίλων ἀπάγχεαι.

book 130.1 τοῖς θεοῖς τ’ εἰθεῖάπαντα· πολλάκις μὲν ἐκ κακῶν ἄνδρας ὀρθοῦσιν μελαίνηι κειμένους ἐπὶ χθονί, πολλάκις δ’ ἀνατρέπουσι καὶ μάλ’ εὖ βεβηκότας ὑπτίους, κείνοις 〈δ’〉 ἔπειτα

book 130.2 πολλὰ γίνεται κακά,[ln_5]καὶ βίου

book 130.3 χρήμηι

book 130.4 πλανᾶται καὶ νόου

book 130.5 παρήορος.

book 131 τοῖος ἀνθρώποισι θυμός, Γλαῦκε Λεπτίνεω πάϊ, γίνεται θνητοῖς, ὁποίην Ζεὺς ἐφ’ ἡμέρην ἄγηι.

book 132.1 καὶ φρονέουσι

book 132.2 τοῖ’ ὁποίοις ἐγκυρέωσιν ἔργμασιν.

book 133.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὔτις αἰδοῖος μετ’ ἀστῶν οὐδὲ περίφημος θανὼν γίνεται· χάριν δὲ μᾶλλον

book 133.2 τοῦ ζοοῦ διώκομεν 〈οἱ〉 ζοοί, κάκιστα δ’ αἰεὶ τῶι θανόντι γίνεται.

book 134 οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομεῖν ἐπ’ ἀνδράσιν.

book 135* [ ]ρα [ ]τας [ ] []υρι

book 136* [ ]ν [ ] []ην [ ][ln_5][ ] [ ]ς

book 137* []ατουσι[ ].[ []. δίκην κρι[ [ ]υλων[

book 138*.1 [ ].ησδε[ [ ]και

book 138*.2 πυ[ []ων γὰρ ο[ [ ]τεσπ[[ln_5][].ηιβ[

book 139 [ ]χ’ ἀσπιδ[ [ ]ν ἴσην τὴν[ [ ]δ[..]χθεὶς ἔργον[ []δ’ ἐστὶν οὐδεὶς τέκμ[αρ[ln_5][ ]ς ἔντος δηϊοισεμ[ [ ]ν ἀκόντων δοῦπον ου[ [ ]ευ[.]ονα[.]ει τήνδεκαλ[ [ ]βων ῥήματ’ οὐκετ[ [ ]γὰρ [ο]ὐδὲν εἰδόσ[ιν (–)[ln_10][].[

book 140.1 [ αὐ]χένα

book 140.2 σχεθών[ [εσκε]υασμένο.[ [ κ]αρτερὸν κε[ [ ]στ[.]..[ ]ον[ln_5][ ]τευμενος [ ]ενην ἔχων [ ].αρμονέ̣ω̣ν̣· [ ]ετο· [ ]δόμους·[ln_10][ ]..ιν[

book 141* [].εγο[ [ ]παν[ [ ]ερος·[ [].πο[[ln_5][ ]φατ[ [ ]κ[

book 142.1 [ ]ζεται- [ ]νέπεις· [ ]ν Ἰμβρίου [ ]α σχέθοι[ln_5][ ]μένου [ ]οσως [ ]χα [ ]· [ ]χρεω[ln_10][ ]εος

book 142.2 πεσ[ []ς ἔλπομα[ι [ ]χρεωμ.[ [ ].ους ἔπεις [ ].ονεῖν·[ln_15][ ]ροις ἔχων [ ]ζετο [ ]φρ.ν[..]·

book 143.1 ]οιοδ[ ]σομαι ]θι

book 143.2 φρονεῖ[ ΄]ποτε[ln_5]]ω

book 143.3 παθεῖν·

book 144.1 – ]άλλα

book 144.2 τοι νέος τ[ –– ]κίνει

book 144.3 ταλαν[τ – ]νησμεν[ [ ]αι τερπε[[ln_5][ ]΄[

book 145 – ]ας καὶ λ.[ –(–) ]ορ.[ –(–) ]αλλη[ –– ]ν μιμν[[ln_5]– ]εναιδοιων[ – ]ω· κεινου[ – ]ν· ἐν ζοοῖσιδ[ – ]εν κακην.[ – ]ης ἀλκῆς λ[[ln_10]–– ]κεινον π[ –– ]μενοιδ.[

book 146.1 [ ]σ̃α[ [ ]μη[ [ ]μφα[ [ ]ιδερεισ[[ln_5][ ]προσβαλόντε[ς .]σ[ [].ν ξεινίων

book 146.2 φειδοίατ[ο []ων ἀθρόοι γενοίμεθ[α [ ]σης

book 146.3 τεύχεσιν

book 146.4 πεφρ[ [ ]σφας ἀμφικουρίη λάβ[

book 147.1 []κοισι[ [ ]νδετ[ι]ν.[ [ ]σιηγόσιν[ []δετις

book 147.2 σι.[

book 148 [ ]οσ[ [δ]έννος ὕβριν αρ[ [ ]νητὴν καλλυ[ν [ ]ρους ἀλκίμουσ[

book 149 δο[υ]λι.[ οὐκ ἐμ[ αλ[.]αρυ[ ει[

book 150* [ ].[ []έωνυ[ [].φινηλ[ []ινιον φ[[ln_5][].σποδώ.[

book 151 ]..[ ]υ γαμ[ ]άδε̣ω̣[_]λιος[ln_5]]·

book 152 [ ]ναιδε· τισ[ –– γυναῖ]κα βινέ̣ω̣ν̣[ [ ].ρε κεινοσ[

book 153 [ ]ασι· [ ]· [ ]ξιφε[ [ ]αδης·[ln_5][ ]ων []ενοι [ ]ταθη· [ ]· [ ]ετοι·[ln_10][ ].ωσ[

book 154* []ν και[ []μερη[ []μ’ ἐλευ[ []γυναι[[ln_5][]νδιοσ[ [ ]πολυ[

book 155* []ν μεγα[ []δουλιο[ [ ]εξελ[ [ ]καη[[ln_5][ ]κα[

book 156* ]ησδεδη[ ]ξομεν[

book 157.1 [ ]τω.[ [].ω Διό[ς []το

book 157.2 χθ[ον- []ρόου· [[ln_5][]λετο·[ [].ων[

book 158* []ἐπαρθῆνα[ι [ ]φ[

book 159* [ἀ]μείλικτον[ [ ].[ ].[

book 160* ]ροστ[

book 161* ]ευθύ[ ].κυν[ ]ημ[

book 162* []πεση[ [ ]φ[

book 163* [ ]. [τρισο]ιζυρη[

book 164 [ ]εν· [ ]ν ποσι ὤμνυε ] [ ]. μετε͜α[ln_5][ ]ποτε[ [ ]αρασ[

book 165* [].μες.[ [ ]τεγη[ [ ]ηράδ.[

book 166 [ ]ρο’[ [ ]θ’αποι[ [ἱμ]ερτὴ Πάρ[ος [ ].ωστρεφε[[ln_5][ α]νθρωπα[ [ ].[].[

book 168.1 Ἐρασμονίδη

book 168.2 Χαρίλαε, [para]χρῆμά τοι γελοῖον ἐρέ͜ω, πολὺ φίλταθ’ ἑταίρων, [para]τέρψεαι δ’ ἀκούων.

book 169.1 Δήμητρί τε

book 169.2 χεῖρας ἀνέξων

book 170 ἀστῶν δ’ οἱ μὲν κατόπισθεν [para]ἦσαν, οἱ δὲ πολλοί

book 171.1 φιλεῖν

book 171.2 στυγνόν

book 171.3 περ ἐόντα, μηδὲ διαλέγεσθαι

book 172.1 πάτερ Λυκάμβα, ποῖον ἐφράσω τόδε; [para]τίς σὰς

book 172.2 παρήειρε

book 172.3 φρένας ᾗις τὸ πρὶν ἠρήρησθα; νῦν δὲ δὴ πολὺς ἀστοῖσι

book 172.4 φαίνεαι γέλως.

book 173.1 ὅρκον δ’ ἐνοσφίσθης μέγαν ἅλας

book 173.2 τε καὶ τράπεζαν.

book 174.1 αἶνός

book 174.2 τις ἀνθρώπων ὅδε, ὡς ἆρ’ ἀλώπηξ καἰετὸς ξυνε͜ω͜νίην ἔμειξαν,

book 175.1 – ἐς

book 175.2 παῖ]δας φέρων [ δαῖ]τα δ’ οὐ καλὴν ἐπ[ὶ ὥρμησαν ἀπτ]ῆνες δύο –– ]. γῆ[ς] ἐφ’ ὑψηλῶι π[άγωι[ln_5]–– ]νεοσσιῆι –– ]προύθηκε, τὴν δ[ –– –– ].εχο.[ – –– ]αδε..[ ––– –– ]φωλά[δ –

book 176.1 ὁρᾶις ἵν’ ἐστὶ κεῖνος ὑψηλὸς πάγος, [para]τρηχύς

book 176.2 τε καὶ παλίγκοτος; ἐν τῶι κάθηται, σὴν ἐλαφρίζων μάχην.

book 177.1 ὦ Ζεῦ, πάτερ Ζεῦ, σὸν μὲν οὐρανοῦ κράτος, [para]σὺ δ’ ἔργ’ ἐπ’ ἀνθρώπων ὁρᾶις λεωργὰ καὶ θεμιστά, σοὶ δὲ θηρίων [para]ὕβρις

book 177.2 τε καὶ δίκη μέλει.

book 178 μή τευ μελαμπύγου τύχηις.

book 179.1 προύθηκε

book 179.2 παισὶ δεῖπνον αἰηνὲς φέρων.

book 180.1 πυρὸς δ’ ἐν αὐτῶι

book 180.2 φεψάλυξ.

book 181.1 [ ].ω[ [ ]ηρκ[ [ ].τάτην[ [ μ]έγ’ ἠείδει κακ[όν[ln_5][ φ]ρέ[ν]α.ς [ ].δ’ ἀμήχανον τ.[ [ ]ακον· [ ].ανων μεμνημένο.σ[ [ ].ην κλύσας[ln_10][ κέ]λευθον ὠκέως δι’ αἰθέροσ[ λαιψηρὰ κυ]κλώσας

book 181.2 πτερά [ ]ν ἡς.. σὸς δὲ θυμὸς ἔλπεται

book 182.1 εὖτε

book 182.2 πρὸς ἆθλα δῆμος ἠθροΐζετο, [para]ἐν δὲ Βατουσιάδης

book 183 Σελληΐδεω‿

book 184.1 τῆι μὲν ὕδωρ ἐφόρει δολοφρονέουσα

book 184.2 χειρί, θἠτέρηι δὲ πῦρ.

book 185.1 ἐρέω τιν’ ὕμιν αἶνον, ὦ Κηρυκίδη, [para]ἀχνυμένηι

book 185.2 σκυτάληι, πίθηκος ἤιει θηρίων ἀποκριθεὶς [para]μοῦνος ἀν’ ἐσχατιήν,[ln_5]τῶι δ’ ἆρ’ ἀλώπηξ κερδαλῆ συνήντετο, πυκνὸν ἔχουσα νόον.

book 186 ῥόπτρωι ἐρειδόμενον.

book 187.1 ὦ θερμόβουλον

book 187.2 πρωκτὸν ἐξυρημένε. τοιόνδε δ’ ὦ πίθηκε τὸν

book 187.3 πωγῶν’ ἔχων κτλ. τοιήνδε δ’ ὦ πίθηκε τὴν

book 187.4 πυγὴν ἔχων.

book 188.1 οὐκέθ’ ὁμῶς θάλλεις ἁπαλὸν

book 188.2 χρόα· κάρφεται γὰρ ἤδη ὄγμοις, κακοῦ δὲ γήραος καθαιρεῖ

book 189 πολλὰς δὲ τυφλὰς ἐγχέλυς ἐδέξω.

book 190 καὶ βήσσας ὀρέων δυσπαιπάλους, οἷος ἦν ἐφ’ ἥβης.

book 191.1 τοῖος γὰρ

book 191.2 φιλότητος ἔρως ὑπὸ καρδίην ἐλυσθεὶς [para]πολλὴν κατ’ ἀχλὺν ὀμμάτων ἔχευεν, κλέψας ἐκ

book 191.3 στηθέων ἁπαλὰς

book 191.4 φρένας.

book 192.1 π[εντήκοντ’ ἀνδρῶν λίπε Κοίρα]ν[ο]ν ἵπ[πιος

book 192.2 Ποσειδέων.[ln_1]πεντήκοντ’ ἀνδρῶν λίπε Κοίρανον ἵππιος

book 192.3 Ποσειδέων.

book 193 δύστηνος ἔγκειμαι πόθωι, ἄψυχος, χαλεπῆισι θεῶν ὀδύνηισιν ἕκητι [para]πεπαρμένος δι’ ὀστέων.

book 194 ἔξωθεν ἕκαστος ἔπινεν, ἐν δὲ βακχίη,

book 195 φαινόμενον κακὸν οἴκαδ’ ἄγεσθαι,

book 196 ἀλλά μ’ ὁ λυσιμελὴς ὦταῖρε δάμναται πόθος.

book 197 Ζεῦ πάτερ, γάμον μὲν οὐκ ἐδαισάμην.

book 200 ἐμέο δὲ κεῖνος οὐ καταπροΐξεται.

book 201 πόλλ’ οἶδ’ ἀλώπηξ, ἀλλ’ ἐχῖνος ἓν μέγα.

book 202 ἔμπλην ἐμέο τε καὶ φίλου

book 203 []ς ἕλῃς· []καρδίην δο.[ [].[ []ς.[.΄..]εμ[[ln_5][ ]·[

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 205 οὐκ ἂν μύροισι γρηῦς ἐοῦς’ ἠλείφεο.
book 206.1 περὶ σφύρον
book 206.2 παχεῖα, μισητὴ γυνή.
book 207 δῆμος
book 208 ἐργάτις
book 209 μυσαχνή
book 210.1 τίς ἆρα δαίμων, καὶ τέου
book 210.2 χολούμενος
book 211.1 τρίαιναν ἐσθλὸς καὶ κυβερνήτης
book 211.2 σοφός,
book 212.1 ἵστη κατ’ ἠκην κύματός
book 212.2 τε κἀνέμου.
book 213 ψυχὰς ἔχοντες κυμάτων ἐν ἀγκάλαις.
book 214 θαλασσίην σάλπιγγα
book 215.1 καί μ’ οὔτ’ ἰάμβων οὔτε
book 215.2 τερπωλέων μέλει.
book 216 καὶ δὴ ’πίκουρος ὥστε Κὰρ κεκλήσομαι.
book 217 χαίτην ἀπ’ ὤμων ἐγκυτὶ κεκαρμένος.
book 218.1 μετέρχομαί σε σύμβολον
book 218.2 ποιεόμενος.
book 219 χραίσμησε δ’ οὔτεπ[
book 220 [......(.)]. ἐμοὶ τόθ’ ἥδε γῆ χ[
book 221 ἐξουδένιζ’ ἔπειτα σὺν θεοῖ[ς
book 222 ἶνας δὲ μελέων 〈τῶν μέσων〉 ἀπέθρισε.
book 223.1 τέττιγος ἐδράξω
book 223.2 πτεροῦ
book 224 πτώσσουσαν ὥστε πέρδικα.
book 225 πάρελθε, γενναῖος γάρ εἰς.
book 226 λέως γὰρ οὐδὲν ἐφρόνεον,
book 227 ὁ δ’ Ἀσίης καρτερὸς μηλοτρόφου.
book 228.1 Θάσον δὲ τὴν
book 228.2 τρισοιζυρὴν πόλιν
book 229 ὀξύη ’ποτᾶτο,
book 230.1 κακήν
book 230.2 σφιν Ζεὺς ἔδωκεν αὐονήν.
book 231.1 ἀμυδρὴν
book 231.2 χοιράδ’ ἐξαλεόμενος,
book 232 νόμος δὲ Κρητικὸς διδάσκεται.
book 233.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πόδες δὴ κεῖθι
book 233.2 τιμιώτατοι,
book 234 χολὴν γὰρ οὐκ ἔχεις ἐφ’ ἥπατι.
book 235 κέ͜ατ͜αι δ’ ἐν ἴπωι.
book 236 φθειρσὶ μοχθίζοντα.
book 237.1 πῶς ἀπέπρησε
book 237.2 σκύτα;
book 238 τρίχουλον
book 239 διαβεβοστρυχωμένον
book 242 δὶς τόση
book 243.1 ἥμισυ
book 243.2 τρίτον
book 244 ὀθνέην ὁδόν.
book 245 ἀργιλιπὴς δ’ ἐφάνη.
book 246 λέγαι δὲ γυναῖκες
book 248 Καρπάθιος τὸν μάρτυρα.
book 249 μυδαλέον
book 251 ὁ Διόνυσος τ[ ουλαστυαζ[ ὄμφακες α[ σῦκα μελ[[ln_5]Οἰφολίωι ερ[
book 252 ἀλλ’ ἀπερρώγασι μύκε͜ω͜ τένοντες.
book 253 κηλωταιδοτισ[..(..)|.]ων ἀοιδαῖς
book 254.1 οὔτοι
book 254.2 τοῦτο δυνησόμεσθα.
book 255.1 ὡς
book 255.2 φαίε νῦν ἄγει τὰ θαργήλια.
book 256.1 ἀθαλέας
book 256.2 τε ταύρους.
book 257 ἄνδρες ὡς ἀμφιτρίβας.
book 258 κοπάεν ξίφος
book 260 []κ⟧ωντα[.]χαιρι[ []ειν· παρὰ τὸ Ἀρχιλ[όχου [ ]κοισιναιγ[[ln_5][ ]ρποκα.[
book 262 ἀζυγέ͜α‿
book 268 κεῖ
book 276 μουνόκερα
book 279 πακτῶσαι
book 282 σκελήπερον
book 296.1 προτείνω
book 296.2 χεῖρα καὶ προΐσσομαι.
book 297 κατ’ οἶκον ἐστρωφᾶτο μισητὸς βάβαξ.
book 298 Ζεὺς ἐν θεοῖσι μάντις ἀψευδέστατος, καὶ τέλος αὐτὸς ἔχει.
book 299

ει[ οι[ αρ[

book 306 ὄχος γὰρ οὐδὲ τοῖσιν εὐόργοις ἔπος.

book 307 εὕδοντι δ’ αἱρεῖ κύρτος

book 313 πύγαργος

book 322.1 Δήμητρος ἁγνῆς καὶ Κόρης τὴν

book 322.2 πανήγυριν σέβων.

book 323 χρυσοέθειρ

book 324.1 τήνελλα καλλίνικε [para]χαῖρε ἄναξ Ἡράκλεις, αὐτός

book 324.2 τε καἰόλαος, αἰχμητὰ δύω.

book 325 ὑψηλοὺς Μεγάτιμον Ἀριστοφόωντά τε Νάξου [para]κίονας, ὦ μεγάλη γαῖ’, ὑπένερθεν ἔχεις.

book 326.1 Ἀλκιβίη

book 326.2 πλοκάμων ἱερὴν ἀνέθηκε καλύπτρην [para]Ἥρηι, κουριδίων εὖτ’ ἐκύρησε γάμων.

book 327.1 σίδηρός ἐστι μοῦνος ὃν

book 327.2 στέργει Κάπυς, τὰ δ’ ἄλλα λῆρος ἦν ἄρ’ αὐτῶι

book 327.3 πλὴν πέους ὀρθοστάδην δύνοντος ἐς γλουτῶν μυχούς· καὶ μέχρι

book 327.4 τοῦδ’ ἐραστὴν ἀσμένως ὁρᾶι,[ln_5]ἕως ὑπ’ αὐτοῦ τέρπεται κεντούμενος. ἐπὰν δὲ λήξηι

book 327.5 τοῦτο, τὸν πάρος φίλον ἀφεὶς ὀχευτὰς εὗρε νευρωδεστέρους. ὄλοιτο

book 327.6 τοίνυν κἀξόλοιτο, Ζεῦ, γένος ἄπιστον ἄστοργόν

book 327.7 τε τῶν κινουμένων.

book 328.1 ἴσος κιναίδου καὶ κακῆς πόρνης ὁ νοῦς· χαίρουσιν ἄμφω λαμβάνοντες κέρματα κινούμενοί τε καὶ διατρυπώμενοι βινούμενοί τε καὶ διεσπεκλωμένοι[ln_5]γομφούμενοί τε καὶ διασφηνώμενοι

book 328.2 χορδούμενοί τε καὶ κατασποδούμενοι. ἀμφοῖν δ’ ὀχευτὴς οὐκ ἀπέχρησέν

book 328.3 ποθ’ εἷς, ἀλλ’ αἰὲν ἄλλο κἄλλο λασταύρων ὅλον εἰδήνον ἐκροφοῦντες ἥδονται πέος, [ln_10]πειρώμενοί τε μειζόνων καὶ πασσόνων νεύρων, κυβιστώντων

book 328.4 τε διφώντων θ’ ὁμοῦ ἅπαντα τἄνδον σύν

book 328.5 τε δηιούντων βαθὺ δεινοῦ βερέθρου χάσμα, καὶ διαμπερὲς μέσου

book 328.6 προκοπτόντων

book 328.7 παράχρις ὀμφαλοῦ.

book 328.1 [ln_15]τοιγὰρ καπρῶσα μαχλὰς ἄρδην ἐρρέτω

book 328.2 πασχητιώντων εὐρυπρώκτων σὺν γένει· ἡμῖν δὲ Μουσῶν καὶ βίου

book 328.3 σαόφρονος μέλοι

book 328.4 φρέαρ

book 328.5 τε, τοῦτο γινώσκους’, ὅτι ἥδ’ ἐστὶ τέρψις, ἥδ’ ἀκίβδηλος

book 328.6 χαρά,[ln_20]ἥδ’ ἡδονὴ πέφυκε, μὴ συνειδέναι αἰσχρᾶι

book 328.7 ποθ’ ἡδυνθεῖσιν αὑτοῖς ἡδονῆι.

book 329.1 ὥς δ’ ἄν

book 329.2 σε θωϊὴ λάβοι.

book 330.1 βίος δ’ ἀπράγμων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 330.2 τοῖς γέρουσι
book 330.3 συμφέρει, μάλιστα δ’ εἰ τύχοιεν ἁπλοῖ τοῖς
book 330.4 τρόποις ἢ μακκοᾶν μέλλοιεν ἢ ληρεῖν ὅλως, ὅπερ γερόντων ἐστίν.
book 331.1 συκῆ πετραίη
book 331.2 πολλὰς βόσκουσα κορώνας, εὐήθης ξείνων δέκτρια
book 331.3 Πασιφίλη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org